μένοντι δ' αὐτοῦ πάντα σοι γενήσεται,
τῇ τ' ἀσφαλείᾳ κερδανεῖς· πόλιν τε σὴν
μὴ πρὶν ταράξῃς πρὶν τόδ' εὖ θέσθαι, τέκνον.
ΗΡ. δράσω τάδ'· εὖ γὰρ εἶπας· εἶμ' εἴσω δόμων.
χρόνῳ δ' ἀνελθὼν ἐξ ἀνηλίων μυχῶν
Ἅιδου Κόρης τ' ἔνερθεν οὐκ ἀτιμάσω
θεοὺς προσειπεῖν πρῶτα τοὺς κατὰ στέγας.
ΑΜ. ἦλθες γὰρ ὄντως δώματ' εἰς Ἅιδου, τέκνον;
ΗΡ. καὶ θῆρά γ' ἐς φῶς τὸν τρίκρανον ἤγαγον.
ΑΜ. μάχῃ κρατήσας ἢ θεᾶς δωρήμασιν;
ΗΡ. μάχῃ· τὰ μυστῶν δ' ὄργι' εὐτύχησ' ἰδών.
ΑΜ. ἦ καὶ κατ' οἴκους ἐστὶν Εὐρυσθέως ὁ θήρ;
ΗΡ. Χθονίας νιν ἄλσος Ἑρμιών τ' ἔχει πόλις·
ΑΜ. οὐδ' οἶδεν Εὐρυσθεύς σε τῆς ἥκοντ' ἄνω;
ΗΡ. οὐκ οἶδ'· ἵν' ἐλθὼν τἀνθάδ' εἰδείην πάρος.
ΑΜ. χρόνον δὲ πῶς τοσοῦτον ἦσθ' ὑπὸ χθονί;
ΗΡ. Θησέα κομίζων ἐχρόνισ' ἐξ Ἅιδου, πάτερ.
ΑΜ. καὶ ποῦ 'στιν; ἢ γῆς πατρίδος οἴχεται πέδον;
ΗΡ. βέβηκ' Ἀθήνας, νέρθεν ἄσμενος φυγών.
ἀλλ' εἶ', ὁμαρτεῖτ', ὦ τέκν', ἐς δόμους πατρί.
καλλίονές τἄρ' εἴσοδοι τῶν ἐξόδων
πάρεισιν ὑμῖν. ἀλλὰ θάρσος ἴσχετε,
καὶ νάματ' ὄσσων μηκέτ' ἐξανίετε,
σύ τ', ὦ γύναι μοι, σύλλογον ψυχῆς λαβὲ
τρόμου τε παῦσαι, καὶ μέθεσθ' ἐμῶν πέπλων·
οὐ γὰρ πτερωτὸς, οὐδὲ φευξείω φίλους.
ἆ,
οἵδ' οὐκ ἀφιᾶσ', ἀλλ' ἀνάπτονται πέπλων
τοσῷδε μᾶλλον· ὧδ' ἔβητ' ἐπὶ ξυροῦ;
ἄξω λαβών γε τούσδ' ἐφολκίδας χεροῖν,
ναῦς δ' ὣς ἐφέλξω· καὶ γὰρ οὐκ ἀναίνομαι
θεράπευμα τέκνων. πάντα τἀνθρώπων ἴσα.
φιλοῦσι παῖδας οἵ τ' ἀμείνονες βροτῶν
οἵ τ' οὐδὲν ὄντες. χρήμασιν δὲ διάφοροι·